Άσκηση στον παθητικό μέλλοντα και αόριστο (α' και β')
Βρες τις 22 λέξεις που είναι τύποι παθητικού μέλλοντα ή αορίστου (α' ή β'):

## Ἁρπαγὴ Περσεφόνης.

Περσεφόνη θυγάτηρ Δήμητρος ἦν. Παιδευθεῖσα δὲ καὶ ἀνατραφεῖσα ὑπ᾽ αὐτῆς λαμπρῶς καλλίστη καὶ σωφρονεστάτη τῶν παρθένων ἐγένετο. Ταύτην Πλούτων γυναῖκα ἠβουλήθη λαβεῖν. Πορευθεὶς οὖν πρὸς τὸν Δία, τὸν ἀδελφόν, εἶπεν αὐτῷ· «Ζεῦ, βούλομαι Περσεφόνην γυναῖκα ἁρπάσαι». Ἔλεγε δ ὅτι τοῦ ἔργου τούτου οὐδέποτε ἀπαλλαγήσοιτο. Ζεὺς δὲ πεισθεὶς ἐπιτρέπει τοῦτο τῷ Πλούτωνι. Συλλεγεῖσαι οὖν ποτε αἱ παρθένοι εἰς τοὺς ἀγροὺς ἐπορεύθησαν ἄνθη συλλέξουσαι. Περσεφόνη δ᾽ ἀπαλλαγεῖσα τῶν ἄλλων συνήθροιζεν ἄνθη. Αἴφνης ἡ γῆ διασχισθεῖσα τὴν Περσεφόνην κατέπιε· πράγματι δ᾽ ὅμως αὕτη ὑπὸ Πλούτωνος ἁρπαγεῖσα εἰς Ἅδου ἤχθη. Αἱ ἄλλαι παρθένοι διασωθεῖσαι οἴκαδε ἐνόμισαν ταύτην εἰς βάραθρον κατακρημνισθῆναι. Δημήτηρ δὲ νυκτὸς καὶ ἡμέρας περιάγουσα ἀνημμέναις λαμπάσι τὴν θυγατέρα οὐχ ηὕρισκεν. Ἐπεὶ δ᾽ ἐμηνύθη αὐτῇ ὑπὸ ἑρμηνέων ὅτι Περσεφόνη ὑπὸ Πλούτωνος ἁρπαγείη, προσῆλθε τῷ Διὶ κλαίουσα καὶ εἶπεν αὐτῷ· «Ζεῦ πάτερ, πῶς ἂν ἡσθείην καὶ τερφθείην ἐν τῷ βίῳ, εἰ τὸ λοιπὸν ἀναγκασθείην διάγειν ἄνευ τῆς θυγατρός;» Ζεὺς δὲ μεταπεμψάμενος Πλούτωνα λέγει αὐτῷ· «Ὦ Πλούτων, ἡ Περσεφόνη τὸ ἥμισυ μὲν τοῦ ἔτους μενέτω παρὰ σοί, τὸ δ᾽ ἕτερον παρὰ τῇ μητρί. Πορεύθητι οὖν, Περσεφόνη, πρὸς τὴν μητέρα». Οὕτω Ζεὺς νομίσας τόν τε Πλούτωνα ἡσθήσεσθαι καὶ τὴν Δήμητρα ἀνακουφισθήσεσθαι τὰ κατὰ Περσεφόνην ἔταξεν.

© Γιάννης Παπαθανασίου – Ελληνικός Πολιτισμός